Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Capvt XXIV. Cyrilli ad Iuuenalem Hierosolymorum episcopum epistola.

urn:nbn:de:hbz:466:1-15062

Visual Library

ANNO CHRISTI 431.

χείας· καὶ κατακούσας μετὰ πολλῆς τῆς συναισθήσεως καὶ συμπαθείας, τὰ αὐτὰ ἡμῖν βούλεται πρεσβυτικὴν ἄγουσιν ἡλικίαν, νεωστὶ εἰς ἐπισκοπὴν ἐληλυθώς· ὃς τῇ τοῦ θεοῦ χάριτι ἀκμάζει ἐν τοῖς τῇ ἐπισκοπῇ προσεῖναι ὀφείλουσιν ἐπάθλοις, ὡς μέγα ἐπ' αὐτῷ φρονεῖν καὶ σεμνύνεσθαι πάντας τοὺς τῆς ἀνατολῆς ἐπισκόπους· παρακαλῶν σου τὴν θεοσέβειαν, ὡς παραλαμβάνεται, ὥστε σου τὴν ἁγιωσύνην τῇ* πρεπούσῃ αὐτῇ συνέσει χρησαμένην μεταχειρίσασθαι τὸ ἐπισυμβὰν οὐκ ἀνεκτὸν ῥῆμα, ὡς δι' ὧν λαλεῖς, δι' ὧν πράττεις, τὸ ἀποστολικόν, καιροῦ καλοῦντος, ἐπιδείξῃ τὸ φάσκον· ἐὰν θέλω χρήσασθαι τῇ ἐξουσίᾳ, ἣ ἔδωκεν ἡμῖν ὁ θεὸς εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν, οὐκ αἰσχυνθήσομαι. τὸν δὲ ποθεινότατον τὸν τὰ γράμματα ἡμῶν ἐπαγόμενον πιστὸν ὄντα καὶ χριστιανὸν ἐκ προγόνων, καταξίωσον τῇ ἐνούσῃ καὶ ἐνυπαρχούσῃ σοι φιλαγαθίᾳ * προσήσεσθαι, καὶ ἐν οἷς ἂν δεηθείη, προνοίας αὐτὸν ἀξιῶσαι τῆς σοὶ πρεπούσης. πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν.

*σοφίᾳ

*[illegible]

quoque summa attentione, nec paruo doloris sensu audiuit. Nam licet recens admodum ad episcopatum venerit, eadem tamen vult & sentit, quæ nos senes: qui etiam Dei gratia munitus, in muneribus certaminibusque episcopo dignis adeo se gerit egregie, vt sese de illo iactent, magnificeq; loquantur orientis episcopi omnes. Hic tuam quoque, vt relatum est, pietatem obnixe rogat, vt sanctitas tua ea qua pollet prudentia vsa, verbum illud quod excidit, & tolerari non debet, ad eum modum tractet, vt tam per ea quæ dictura est, quam per ea rursum quæ factura est, occasione ad hoc nunc prouocante, illud apostolicum eluceat: *Si ea,* inquit, *potestate voluero vti, quam dedit nobis Deus in ædificationem, & non in destructionem, non erubescam.* Ceterum desideratissimum hunc nostrum tabellarium, qui iam inde a maioribus suis fidelis & Christianus est, pro ea quæ tibi plane insita est, benignitate suscipere digneris; & si qua in re operam tuam desiderabit, tua quæso prouidentia illi non desis. Totam quæ tecum est fraternitatem & ego, & qui mecum sunt, plurimum salutamus.

## ΚΕΦΑΛΑΙΟΝ κδ΄.

Κυρίλλου πρὸς Ἰουβενάλιον ἐπίσκοπον Ἱεροσολύμων ἐπιστολή.

Τῷ κυρίῳ μου ποθεινοτάτῳ καὶ συλλειτουργῷ Ἰουβεναλίῳ Κύριλλος ἐν κυρίῳ χαίρειν.

Ηὐχόμην μὲν τοῖς τῶν εὐδοκιμησάντων ἴχνεσι, καὶ τῇ ὀρθῇ πί-

## CAPVT XXIV.

*Cyrilli ad Iuuenalem Hierosolymorum episcopum epistola.*

*Desideratissimo fratri ac comministro Domino meo Iuuenali, Cyrillus episcopus in Domino Sal.*

OPTASSEM sane, reuerendissimum episcopum Nestorium proborum virorum vestigiis

innixum, rectæ fidei doctrinam consectari. Nam quis sanæ mentis illos, qui Saluatoris gregi præfecti sunt, probatissimos esse non exoptet? Quoniam vero præter omnem spem rerum natura interuersa est (siquidem quem sincerum pastorem fore sperabamus, hunc rectæ fidei persecutorem euasisse comperimus) reliquum est, vt illud Christi omnium nostrum Saluatoris in mentem reuocemus:
Matth. 10. v. 34. *Non veni*, ait, *pacem mittere in terram, sed gladium. Veni enim separare hominē aduersus patrem suum.* Quod si absque omni crimine & noxa, imo vero summa cum laude bellum in parentes suscipitur, quando id ad Christi gloriam facere dignoscitur; quo pacto modis omnibus necessarium non est, vt (licet ob fratris iacturam lacrymis perfundamur) diuino zelo accingamur, illudque tantum non omnibus qui terram incolunt, oc-
Exod. 32. v. 26. cinamus: *Si quis est Domini, iungatur mihi?* Equidem amice vnis iam aut alteris illum admonui literis, ne proprii iudicii sensum sequi malit, quam rectam apostolicamque, & ecclesiis iam olim traditam fidem; ratus fore, vt hac ratione ab expositionum suarum prauitate recederet. Verum pharmacum beneuolentiæ nihil hactenus profuit, suggestumq; consilium vi caruit. Imo vero tantum abfuit vt veritatis dogmata complecti instituerit, vt literas quoq; sua ipsius subscriptione munitas ad me dederit; in quibus haud secus ac graui iniuria a me affectus, stomachatur, aperteque sacram virginem Dei genitricem esse inficiatur. Quod, quæso, quid aliud est, quam manifeste dicere, Emmanuelem, ex quo tota salutis

στῇ καὶ ἀκολουθεῖν τὸν εὐλαβέστατον ἐπίσκοπον Νεστόριον. τίς γὰρ τῶν εὖ φρονούντων οὐκ ἂν εὔξαιτο, δοκιμωτάτους εἶναι τοὺς καθηγεῖσθαι λαχόντας τῶν τοῦ σωτῆρος ποιμνίων; ἐπειδὴ δὲ παρ' ἐλπίδας ἡ τῶν πραγμάτων ἡμῖν ἐκβέβηκε φύσις· ὃν γὰρ ἔσεσθαι προσεδοκῶμεν ποιμένα γνήσιον, τοῦτον τῆς ὀρθῆς πίστεως διώκτην εὑρήκαμεν· δεῖ λοιπὸν μνημονεῦσαι τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ λέγοντος· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ. εἰ δὲ δὴ καὶ πρὸς γονέας ἡμῖν ὁ πόλεμος ἀνέγκλητός τε καὶ ἀνεπίληπτος, μᾶλλον δὲ καὶ παντὸς ἐπαίνου μεστός, ὅτε τῇ τοῦ Χριστοῦ δόξῃ συναθλεῖν ἐγνώκαμεν· πῶς οὐκ ἀνάγκη πᾶσα, καίτοι δακρύοντας, ὡς ἀδελφὸν ἀπολέσαντας, τὸν θεοφιλῆ περιζώσασθαι ζῆλον, καὶ μονονουχὶ τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐκεῖνο εἰπεῖν· εἴ τις πρὸς κύριον, ἴτω πρός με; ἐγὼ μὲν γὰρ δι' ἑνὸς καὶ δευτέρου γράμματος ὡς ἀδελφὸν παρεκάλεσα, μὴ ταῖς ἰδίαις ἀκολουθεῖν ἐννοίαις, ἀλλὰ τῇ ὀρθῇ καὶ ἀποστολικῇ πίστει τῇ παραδοθείσῃ ταῖς ἁγίαις ἐκκλησίαις, οἰηθεὶς ἀπαλλάξειν αὐτὸν τῆς τῶν αὐτοῦ γραμμάτων σκαιότητος. ἀλλ' οὐδὲν ὤνησε τὸ τῆς διαθέσεως φάρμακον, ἄπρακτος γέγονεν ἡ συμβουλή· καὶ τοσοῦτον ἀπέσχε τοῦ θέλειν τοῖς τῆς ἀληθείας ἕπεσθαι δόγμασιν, ὥστε καὶ ἐπιστολὴν ἀποστεῖλαι πρός με μεθ' ὑπογραφῆς ἰδίας· ἐν ᾗ καὶ ἐπιπλήττει μὲν ὡς λυπούμενος, διωμολόγηκε δὲ σαφῶς, θεοτόκον εἰπεῖν μὴ εἶναι τὴν ἁγίαν παρθένον. ὅπερ ἐστὶν ἐναργῶς εἰπεῖν, μὴ εἶναι θεὸν ἀληθῶς τὸν Ἐμμανουήλ, ἐφ' ᾧ

ANNO CHRISTI 431.

* ταῖς σωτηρίοις ἔχομεν ἐλπίδας.

* τῆς σωτηρίας

Οἰηθεὶς δὲ ὅτι καὶ τὴν Ῥωμαίων ἐκκλησίαν συναρπάσαι δυνήσεται, ἔγραψε πρὸς τὸν κύριόν μου, τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἀδελφὸν καὶ συλλειτουργὸν Κελεστῖνον τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, ἐνθεὶς ταῖς ἐπιστολαῖς τῶν αὐτοῦ δογμάτων τὴν διαστροφήν. πέπομφε δὲ καὶ ἐξηγήσεις πολλάς, ἐξ ὧν ἐλήλεγκται φρονῶν τὰ διεστραμμένα· καὶ κατεγνώσθη λοιπὸν ἀραρότως ὡς αἱρετικός. ἐπεὶ τοίνυν ὁ μνημονευθεὶς εὐλαβέστατος καὶ θεοσεβέστατος τῆς Ῥωμαίων ἐκκλησίας ἐπίσκοπος Κελεστῖνος φανερὰ γέγραφε περὶ αὐτοῦ, καὶ πέπομφε πρὸς μὲ τὰς ἐπιστολάς, δεῖν ᾠήθην ἀποστεῖλαι ταύτας, καὶ ἀκονηθεῖσαν οἴκοθεν εἰς εὐσεβῆ ζῆλον τὴν σὴν θεοσέβειαν διαναστῆσαι διὰ τοῦ γράμματος· ὅπως ἂν ἐκ μιᾶς ψυχῆς, καὶ συντόνου προθυμίας, τὴν εἰς Χριστὸν ἀγάπην ζωσώμεθα, καὶ σώσωμεν λαοὺς κινδυνεύοντας, καὶ στήσωμεν ἐκκλησίαν τὴν οὕτω διαφανῆ· σύμφρονες γεγονότες δηλονότι ἑκάστοις ἅπαντες, καὶ κατὰ τὸν ὁρισθέντα τύπον ἐπιστέλλοντες αὐτῷ καὶ τοῖς λαοῖς. ἂν μὲν ὠφελήσωμεν, καὶ μεταστήσωμεν κατὰ τὸ ἀληθὲς αὐτὸν, ὧν πεφρόνηκε, κεκερδήκαμεν τὸν ἀδελφὸν, καὶ σεσώκαμεν ποιμένα· ἐὰν δὲ ἄπρακτος ἡ συμβουλὴ ἡμῶν γένηται, αὐτὸς ἑαυτῷ ἐπιγράψας τὸ συμβὰν, αὐτὸς τῶν οἰκείων πόνων ἔδεται τοὺς καρπούς. δεῖ δὲ ἡμᾶς ἀναγκαίως καὶ τῷ φιλοχρίστῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ, καὶ ἅπασι δὲ

noſtræ fiducia pendet, non eſſe verum Deum?

Ceterum Romanam eccleſiam in ſuam ſententiam pertrahere ſe poſſe arbitratus, ſcripſit ad eiuſdem eccleſiæ epiſcopum Cæleſtinum, dominum, fratrem & comminiſtrum meum longe piiſſimũ, Deoque dilectiſſimum; iiſque literis dogmatum ſuorum peruerſitatem inſeruit. Miſit eidem & multas quoque exegeſes, ex quibus peruerſa ſentire aperte deprehenſus, iure merito ab illo hæreſeos eſt condemnatus. Cum igitur reuerendiſſimus piiſſimuſque Romanæ eccleſiæ epiſcopus Cæleſtinus comperta de illo ſcripſerit, ipſaſque literas ad me dederit, equidem illas viciſſim ad te mittendas exiſtimaui; quo nimirum pium quemdam zelum, ad quem alioqui pietas tua ſuapte natura incenſa eſt, literis illis exſuſcitem: quatenus vnanimi conſenſu, alacrique contentione, caritatem quæ eſt in Chriſto, accingamur, populoque non paruis periculis obiecto ſalutem procuremus; ac eccleſiam denique adeo conſpicuam illuſtremque ſtabiliamus. Hoc autem conſequemur, ſi ſinguli cum ſingulis congruentes, ſecundum præfinitam formulam, cum ad ipſum, tum ad populum quoque ſcribamus. Nam ſi in rem id fecerimus, hoc eſt, ſi illum ab iis quæ hactenus ſentit, ad veritatem tranſtulerimus, lucrifaciemus fratrem, ſeruabimus & eccleſiæ quoque paſtorem: ſin vero conſilium hoc noſtrum fruſtra ſuſceptum fuerit, ſibiipſi quodcumque tandem euenerit, adſcribens, laborum ſuorum fructum ipſe manducabit. Oportebit autem literis ad Chriſtianiſſimum, piiſſimumque imperatorem, cete-

rosque in magistratu constitutos missis, iisdem persuadere, hinc quidem, ne pietati, quæ est in Christum, vlla ratione hominem anteferant; inde vero, vt terrarum orbi rectæ fidei stabilitatem concilient, ouesque a malo pastore liberent: nisi is tamen ita comparatus sit, vt omnium consiliis obsequi velit. Saluta quæ apud te est, fraternitatem: quæ apud nos est, te in Domino salutat.

τοῖς ἐν τέλει γράψαι, καὶ συμβουλεῦσαι, μὴ προτιμῆσαι τῆς εἰς Χριστὸν εὐσεβείας ἄνθρωπον, ἀλλὰ χαρίσασθαι τῇ οἰκουμένῃ τὸ βέβαιον εἰς πίστιν ὀρθήν, καὶ ποιμένος ἀπαλλάξαι πονηροῦ τὰ θρέμματα, εἰ μὴ ταῖς ἁπάντων εἴκει συμβουλαῖς. πρόσειπε τὴν παρὰ σοὶ ἀδελφότητα· σὲ ἡ σὺν ἡμῖν ἐν κυρίῳ προσαγορεύει. Anno Christi 431.

## CAPUT XXV.

*Exemplum epistolæ scriptæ a Ioanne episcopo Antiocheno ad Nestorium.*

*Domino meo piissimo sanctissimoque episcopo Nestorio, Ioannes in Domino Sal.*

I.

MEAM de tua pietate sententiam per dominum meum, magnificumque per omnia Comitem Irenæum sincere absque vllo prorsus fuco dilectioni tuæ patefeci: & quoniam vera expurgatione vsus, omni, vt arbitror, suspicione apud te vaco, libere candideque sinceritati tuæ in posterum consilium dare institui. Poteris autem ex iis quæ suasurus sum, nostri erga te candoris non leue argumentum sumere, simulque quantæ ea caritas quæ secundum Deum est, curæ nobis sit, perspicere. Quam sane caritatem qui consectantur, illi diuinis legibus obtemperant: qui vero ea neglecta, imposturis student, ii suis se telis prius conficiunt, quam eos quos adoriuntur. Hæc itaque opportune, vt existimo, præfatus,

## ΚΕΦΑΛΑΙΟΝ κέ.

Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ Ἰωάννου ἐπισκόπου Ἀντιοχείας πρὸς Νεστόριον.

Τῷ δεσπότῃ μου θεοφιλεστάτῳ καὶ ὁσιωτάτῳ ἐπισκόπῳ Νεστορίῳ, Ἰωάννης ἐν Κυρίῳ χαίρειν.

α.

ΤΟΝ ἐμαυτοῦ σκοπὸν περὶ τὴν σὴν θεοσέβειαν μετὰ πάσης ἀληθείας διὰ τοῦ κυρίου μου τοῦ τὰ πάντα μεγαλοπρεπεστάτου κόμητος Εἰρηναίου ἐδήλωσα τῇ σῇ διαθέσει. καὶ ἐπειδὴ ὡς νομίζω, πάσης εἰμὶ ὑποψίας λοιπὸν παρ' ὑμῖν ἐκτός, ἀληθέσιν ἀπολογίαις χρησάμενος, πεπαρρησιασμένῃ λοιπὸν χρῶμαι πρὸς τὴν σὴν γνησιότητα συμβουλίᾳ. ἔξεστι δέ σοι ἐξ αὐτῶν ὧν συμβουλεύω, ἐνέχυρα ἡμέτερα λαβεῖν τῆς περὶ σὲ γνησιότητος, καὶ ὡς φροντὶς ἡμῖν ἐστιν οὐ μικρὰ τῆς κατὰ θεὸν ἀγάπης· ἣν οἱ τηροῦντες, τοῖς θείοις ἐκπληροῦσι νόμοις· οἱ δὲ ἀμελοῦντες, καὶ πανούργως προσφερόμενοι τοῖς οἰκείοις μέλεσιν, ἑαυτοὺς πρότερον βλάπτουσιν, ἢ καθ' ὧν ἐγχειροῦσιν. ἐπεὶ οὖν ταῦτά μοι καλῶς πεπροοιμίασται, ὡς ἔγωγε οἴμαι,